ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς
θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ.
Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως,
ἤχου ἑορτάζοντος.
Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί
συνταράσσεις με;
Ἔλπισον ἐπὶ τὸν θεὸν, ὅτι ἐξομολογήσομαι
αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ θεός μου.
Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ
τοῦτο μνησθήσομαί σου ἐκ γῆς ἰορδάνου καὶ
ἑρμωνιεὶμ, ἀπὸ ὄρους μικροῦ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν
τῶν καταῤῥακτῶν σου.
Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά
σου, ἐπ' ἐμὲ διῆλθον.
Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ,
καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί.
Προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου, ἐρῶ τῷ θεῷ
ἀντιλήπτωρ μου εἶ.
Διὰ τί μου ἐπελάθου, καὶ ἵνα τί σκυθρωπά-
ζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;
Ἐν τῷ καταθλάσαι τὰ ὀστᾶ μου, ὠνείδιζόν